νας ποιεῖν τοὺς συνόντας. ἄλλοι μὲν οὖν αὐτῷ πρὸς
ἄλλους οὕτως ὁμιλοῦντι παραγενόμενοι διηγοῦντο· ἐγὼ
δὲ, ὅτε πρὸς Εὐθύδημον τοιάδε διελέγετο, παρεγενό-
3 μην. ⁋ Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἤδη ποτέ
σοι ἐπῆλθεν ἐνθυμηθῆναι, ὡς ἐπιμελῶς οἱ θεοὶ, ὧν
οἱ ἄνθρωποι δέονται, κατεσκευάκασι; ⁋ Καὶ ὅς, Μὰ
τὸν Δί', ἔφη, οὐκ ἔμοι γε. ⁋ Ἀλλ' οἶσθά γ', ἔφη,
ὅτι πρῶτον μὲν φωτὸς δεόμεθα, ὃ ἡμῖν οἱ θεοὶ παρέ-
χουσι; ⁋ Νὴ Δί', ἔφη, ὅ γ' εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς
τυφλοῖς ἂν ἦμεν, ἕνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν.
⁋ Ἀλλὰ μὴν καὶ ἀναπαύσεώς γε δεομένοις ἡμῖν νύκτα
παρέχουσι, κάλλιστον ἀναπαυτήριον. ⁋ Πάνυ γ',
4 ἔφη, καὶ τοῦτο χάριτος ἄξιον. ⁋ Οὐκοῦν καὶ ἐπει-
δὴ ὁ μὲν ἥλιος φωτεινὸς ὢν τάς τε ὥρας τῆς ἡμέρας
ἡμῖν καὶ τἆλλά πάντα σαφηνίζει, ἡ δὲ νὺξ, διὰ τὸ
σκοτεινὴ εἶναι, ἀσαφεστέρα ἐστὶν, ἄστρα ἐν τῇ νυκτὶ
ἀνέφηναν, ἃ ἡμῖν τὰς ὥρας τῆς νυκτὸς ἐμφανίζει,
καὶ διὰ τοῦτο πολλὰ ὧν δεόμεθα πράττομεν; ⁋ Ἔστι
ταῦτα, ἔφη. ⁋ Ἀλλὰ μὴν ἥ γε σελήνη οὐ μόνον τῆς
νυκτὸς, ἀλλὰ καὶ τοῦ μηνὸς τὰ μέρη φανερὰ ἡμῖν
5 ποιεῖ. ⁋ Πάνυ μὲν οὖν, ἔφη. ⁋ Τὸ δ', ἐπεὶ τρο-
φῆς δεόμεθα, ταύτην ἡμῖν ἐκ τῆς γῆς ἀναδιδόναι,
καὶ ὥρας ἁρμοττούσας πρὸς τοῦτο παρέχειν, αἳ ἡμῖν
οὐ μόνον ὧν δεόμεθα πολλὰ καὶ παντοῖα παρασκευά-
ζουσιν,

*συνόντας*] Edd. vett. *συντυχόντας*.

§. 3. *ἕνεκά γε τ. η. ο.*] Beſſar. et Leonclau. reddunt *oculos quod attinet*, ſed, *unſrer beyden Augen ungeachtet*, Heinzius, qui ſuſpicatur, aliam particulam a Xen. eſſe adhibitam. Sed fortaſſe habet locum proprius ſenſus, *ob oculos noſtros, qui quidem ſine luce nil videre poſſunt*, vt oculi felium, talparum, veſpertilionum etc. Criſin nuperi Editoris, Edwards, honoris eius cauſa omittam.

§. 4. *ἐπειδὴ*] Sic edidi pro *ἐπειδὰν*, et ſic §. 6. 9. ex ed. pr., Baſ., Steph. et MSS. Voſſ., Vind. Mox *ὥρας* non noſtro modo intellige, ſed de *partibus naturalibus ad vſum vitae communis*. v. tamen Cl. Hindeburg. ad h. l. ſuper quaeſtione, an *horae* nomen noſtro more veteribus vſitatum fuerit, erudite diſſerentem. *Ern.*

*ἀνέφηναν*] Marg. Steph. *ἀνεφάνησαν*, perperam. Int. *οἱ θεοὶ*.

*τοῦ μηνὸς τὰ μέρη*] Sunt *ἱσταμένου, μεσοῦντος καὶ λήγοντος*. vid. Pollux I, 63.

§. 5. *τὸ δ'*] Eſt accuſatiuus, intellecto *περὶ*, *quod attinet*, et τ. *δοκεῖ σοι*;